Τὸν γὰρ κόσμον τῆς διανοίας τῆς σῆς, ὃν κατέφλεξεν ὁ διάβολος νῦν, εἴ τις ὅτε ἔλαμπεν ᾔδει καλῶς, οὐκ ἂν ἐστέναξεν, τοὺς θρήνους ἐπερχόμενος τοῦ προφήτου, καὶ ἀκούων ὅτι χεῖρες βαρβαρικαὶ καὶ τὰ ἅγια τῶν ἁγίων ἐμόλυναν καὶ πῦρ ἐπαφεῖσαι πάντα κατέκαυσαν, τὰ Χερουβὶμ τήν τε κιβωτόν, τὸ ἱλαστήριον, τὰς πλάκας τὰς λιθίνας, τὴν στάμνον τὴν χρυσῆν. Αὕτη γάρ, αὕτη ἡ συμφορὰ τοσούτῳ πικροτέρα ἐκείνης ὅσῳ καὶ πολλῷ τιμιώτερα ἐκείνων σύμβολα εἰς τὴν σὴν ἐναπέκειτο ψυχήν· οὗτος ἁγιώτερος ἐκείνου ὁ ναός· οὐδὲ γὰρ χρυσῷ καὶ ἀργύρῳ ἀλλὰ τῇ τοῦ Πνεύματος ἀπέστιλβε χάριτι καὶ ἀντὶ τῶν Χερουβὶμ καὶ τῆς κιβωτοῦ τὸν Χριστὸν καὶ τὸν τούτου Πατέρα καὶ τὸν Παράκλητον εἶχεν ἱδρυμένον ἐν ἑαυτῷ.

Ἀλλὰ νῦν οὐκέτι, ἀλλ' ἔρημος μὲν καὶ γυμνὸς τοῦ κάλλους ἐκείνου καὶ τῆς εὐπρεπείας ἐστίν, τὸν θεῖον καὶ ἄρρητον ἀποκοσμηθεὶς κόσμον, ἔρημος δὲ ἀσφαλείας ἁπάσης καὶ φυλακῆς. Καὶ οὔτε θύρα, οὔτε μοχλός, ἀλλὰ πᾶσιν ἀνέῳκται τοῖς ψυχοφθόροις καὶ αἰσχροῖς λογισμοῖς· κἂν ὁ τῆς ἀλαζονείας, κἂν ὁ τῆς πορνείας, κἂν ὁ τῆς φιλαργυρίας, κἂν οἱ τούτων μιαρώτεροι βουληθῶσιν ἐπεισελθεῖν ὁ κολύσων οὐδείς· πρότερον δέ, καθάπερ ὁ οὐρανὸς τούτοις ἐστὶν ἄβατος ἅπασιν, οὕτω καὶ ἡ καθαρότης τῆς διανοίας τῆς σῆς. Καὶ τάχα ἄπιστα δόξω τισὶν λέγειν τοῖς νῦν τὴν ἐρήμωσιν καὶ τὴν καταστροφὴν ὁρῶσιν τὴν σήν· διὰ γὰρ τοῦτο κόπτομαι καὶ πενθῶ, καὶ τοῦτο

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/27 UNIVERSITÄT LEIPZIG